Beginning Greek Reader

A Companion to "Beginning with New Testament Greek"

What is this resource?

This is a collection of 10 simplified texts taken from the Greek New Testament or the Greek translation of the Old Testament. Each story is designed to match a specific chapter from the "Beginning with New Testament Greek" textbook by B&H Academic, including only the cumulative vocabulary and grammar learned up to that chapter. Additionally, each story contains a side bar with challenging parsing and unknown vocabulary words.

DISCLAIMER: Each story was thoroughly adapted for pedagogic purposes. Although the main idea of the passages have been retained, one should **NOT** approach these texts as the Holy and Inerrant Word of God.

Why should I need this resource?

Recent study in second language acquisition attests to the benefits of extensive reading out loud. Learning the massive amount of vocabulary and grammar required by an introductory grammar textbook is incredibly helped by encountering those same words in context. Perhaps even more importantly, actually reading greek from the first week of class makes the learning experience much more fun than just learning paradigms for a whole semester.

Unfortunately, jumping straight into the Greek New Testament (GNT) after a few weeks (or even months) of class can prove very challenging, due to the vast amount of unknown vocabulary, grammar and syntax. These stories attempt to fill this gap by providing actual Koine Greek text that reads and feels, as much as possible, like the actual GNT, but accommodated to the level of the reader.

Who is this resource for?

This resource was developed for Beginning Greek students that are using the "Beginning with New Testament Greek" textbook. However, any beginning and intermediate greek student that is struggling to jump into the GNT may find it a helpful stepping stone in that direction.

How to use this resource?

There is flexibility in how to use these stories, but the main recommendation is that they be read as stories, meaning they should not be treated as "once and done" exercises, but should be re-read out loud several times. An example of a very beneficial study would be to:

1. Read the story out loud a few times without stopping too much (don't worry if you don't understand everything at first).
2. After you're familiar with the story, read quickly again, underlining every word and verb you don't understand.
3. Try to parse each of these words. Note whether the side margins provides you the parsing, and if not check with colleagues and/or your professor.
4. Read the story out loud again, noticing how that are able to understand it much better than the first time.
5. If there are challenging sections, work through them slowly, translating each word.
6. After you covered a few stories, revisit earlier stories.

Caio Issa

The Genealogy of Jesus

Beginning Greek Chapter 1

γένεσις - “genealogy”

υἱοῦ - “son of”

1 ἡ γένεσις Ἰησοῦ χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραάμ.

ἐγέννησεν - “begat”

Δέ - “and”

2 Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν, 3 Ἰούδας δὲ

καί - “and”

ἐγέννησεν τὸν Φαρὲς καὶ τὸν Ζάρα ἐκ τῆς Θαμάρ, Φαρὲς δὲ ἐγέννησεν τὸν Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ, 4 Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών, 5 Σαλμὼν δὲ ἐγέννησεν τὸν Βόες ἐκ τῆς Ῥαχάβ, Βόες δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί, 6 Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ.

7 Δαυὶδ δὲ ἐγέννησεν τὸν Σολομῶνα, Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησεν τὸν Ἀσάφ, 8 Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν

Ὀζίαν, 9 Ὀζίας δὲ ἐγέννησεν τὸν Ἰωαθάμ, Ἰωαθὰμ δὲ ἐγέννησεν τὸν Ἀχάζ, Ἀχὰζ δὲ

ἐγέννησεν τὸν Ἑζεκίαν, 10 Ἑζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμώς, Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν, 11 Ἰωσίας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν.

12 Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβαβέλ, 13 Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακίμ, Ἐλιακὶμ δὲ ἐγέννησεν τὸν Ἀζώρ, 14 Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησεν τὸν Ἀχίμ, Ἀχὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ, 15 Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησεν τὸν Ἰακώβ, 16 Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ, Ἰωσὴφ δὲ ἐγέννησεν τὸν Ἰησοῦν τὸν χριστόν.

You are the Christ

Beginning Greek Chapter 5

πορεύονται - PM/PI 3p πορεύομαι

Ἔρχεται - PM/PI 3s ἔρχομαι

εἰ - if ..., then

ἀκούετε - PAI 2p ἀκούω

ἀποκρίνεται - PM/PI 3s

γινώσκμοεν - PAI 1p γινώσκω

εἶ - Pres Ind 2s εἰμι

ἐστέ - Pres Ind 2p εἰμι

ἐγείρομαι - PM/PI 1s ἐγείρω

1 ὁ Ἰησοῦς καὶ Πέτρος καὶ Ἰωάννης πορεύονται. 2 ὁ δὲ Ἰησοῦς διδάσκει καὶ λέγει ὅτι ἡ βασιλεία τοῦ θεοῦ ἔρχεται. ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. 3 εἰ ἀκούετε καὶ λαμβάνετε τὸν λόγον, ἔχετε ζωὴν καὶ δόξαν καθὼς ἔχω ζωὴν καὶ δόξαν. πιστεύετε τῷ εὐαγγελίῳ; 4 Πέτρος δὲ ἀποκρίνεται καὶ λέγει· πιστεύω. γινώσκομεν ὅτι ὁ Χριστὸς εἶ καὶ ὁ υἱὸς τοῦ θεοῦ καὶ ὁ κύριος τοῦ οὐρανοῦ.

5 ὁ Ἰησοῦς λέγει· ἀδελφοί καὶ τέκνα ἐστέ. ἡ ὥρα ἔρχεται ὅτι βλέπετε τὴν δόξαν καὶ τὰ ἔργα τοῦ υἱοῦ τοῦ θεοῦ. 6 κρίνω τὸν κόσμον καὶ ἐγείρω τοὺς ἀνθρώπους τοῦ θανάτου καθὼς ἐγείρομαι τοῦ θανάτου.

The Love of God is in you

Beginning Greek Chapter 8

ὃν - Relative Pronoun AMS "which"

1 λέγομεν ὑμῖν τὸν λόγον ὃν ἀκούομεν ἀπ᾽ αὐτοῦ, ὅτι ὁ θεὸς ἀλήθεια ἐστίν καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. 2 εἰ λέγομεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. 3 εἰ

λαλοῦμεν - PAI 1p λαλέω

λαλοῦμεν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, Ἰησοῦς θεραπεύει ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν.

τηροῦμεν - PAI 1p τηρέω

4 γινώσκομεν δὲ αὐτόν, εἰ τὸν νόμον αὐτοῦ τηροῦμεν. 5 ὁ

Ὅς - Rel Pron NMS

ἄνθρωπος ὃς λέγει ὅτι γινώσκω αὐτὸν καὶ τὸν νόμον αὐτοῦ

ἡ ἀγάπη - subject of the sentence

οὐ τηρεῖ οὐκ ἐστὶν μαθητής, καὶ ἐν αὐτῷ ἡ ἀλήθεια οὐκ ἔστιν· 6 εἰ μένει ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ἡμεῖς καὶ μένομεν ἐν αὐτῷ, καὶ περιπατοῦμεν καθὼς καὶ περιεπάτει Ἰησοῦς.

7 ἀδελφοί μου, γράφω ὑμῖν, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐν ὑμῖν

ἀγαπᾷς - PAI 2s ἀγαπάω

ἔστιν. εἰ οὐ ἀγαπᾷς τὸν ἀδελφόν σου, οὐ ποιεῖς τὴν δικαιοσύνην τοῦ θεοῦ, οἱ γὰρ ὀφθαλμοί σου οὐ βλέπουσιν τὴν ὁδόν. 8 εἰ ἀγαπᾷς τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ θεοῦ ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ κόσμος οὐκ ἔστιν ἐκ τοῦ πατρός. 9 καὶ ὁ κόσμος ὑπάγει, ὁ δὲ λόγος τοῦ θεοῦ μένει.

10 τέκνα, ἡ ὥρα ἐστίν, καὶ ὁ ἀντίχριστος ἔρχεται καθὼς

ἦσαν - PI 3p εἰμι

ἀκούετε. 11 ἐξ ἡμῶν ὑπάγουσιν, ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἐξ ἡμῶν ἦσαν, μένουσιν μεθ᾽ ἡμῶν· γινώσκομεν οὖν ὅτι οὐκ εἰσὶν ἐξ ἡμῶν.

The Bread of Life

Beginning Greek Chapter 12

Ἀπῆλθεν - 2nd aor ἀπέρχομαι

Γαλιλαίας - Galilee

Τιβεριάδος - Tiberias

ἠκολούθει - IAI 3s ἀκολουθέω

ἃ - Rel. Pron. Acc Neut Pl

ἀνέβη - AAI 3s ἀναβαίνω (2nd Aor)

ἐλαλεῖ - IAI 3s

βλέπει - Narrative present

ἤρχετο - IAI 3s ἔρχομαι

Πόθεν - "from where"

εὑρήσομεν - FAI 1p εὑρίσκω

πέντε - five

προσηύξατο - AMI 3s προσεύχομαι

εἶδον - 2nd aor βλέπω

κατέβησαν - 2nd aor καταβαίνω

ἦρχοντο - IAI 3p ἔρχομαι

ἐφοβήθησαν - API 3p φοβέομαι Passive w/ middle sense

περιεπατεῖ - IAI 3s // τὶς - who?

ἔκραξαν - AAI 3p κράζω

ὁ - Article as a pronoun

φοβήσεσθε - FMI 2p

1 Ἀπῆλθεν ὁ Ἰησοῦς τῇ θαλάσσῃ τῆς Γαλιλαίας τῆς Τιβεριάδος. 2 ἠκολούθει δὲ αὐτῷ ὄχλος, ὅτι εἶδον τὰ σημεῖα ἃ ἐποίησεν. 3 ἀνέβη δὲ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ ἐκεῖ ἐλάλει παραβολάς. 4 ὁ Ἰησοῦς βλέπει ὅτι ὄχλος ἤρχετο πρὸς αὐτόν καὶ λέγει πρὸς Φίλιππον· Πόθεν εὑρήσομεν ἄρτους ὑπὲρ αὐτῶν; 5 λέγει αὐτῷ μαθητής αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου· 6 ἐστὶν τέκνον ὃ ἔχει πέντε ἄρτους. 7 ἔλαβεν οὖν τοὺς ἄρτους ὁ Ἰησοῦς καὶ προσηύξατο καὶ ὁ ὄχλος ἔφαγεν. 8 αὐτοὶ δὲ εἶδον τὸ σημεῖον καὶ εἶπον ὅτι αὐτός ἐστιν ὁ προφήτης ὃς ἔρχεται εἰς τὸν κόσμον.

9 εὐθύς κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν, 10 καὶ εἰσῆλθον εἰς πλοῖον καὶ ἦρχοντο εἰς Καφαρναούμ, ἀλλ᾽ οὐκ ἦλθεν μετ᾽ αὐτῶν ὁ Ἰησοῦς. 11 οἱ δὲ μαθηταὶ ἄνθρωπον εἶδον καὶ ἐφοβήθησαν ὅτι περιεπατεῖ ἐπὶ τῆς θαλάσσης καὶ ἔκραξαν· τίς εἶ; 12 ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι, οὐ φοβήσεσθε. 13 ἔλαβον οὖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθὺς ἐγένετο τὸ πλοῖον ἐπὶ τῆς γῆς καὶ ἐξῆλθον.

14 εἶδεν οὖν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἰσῆλθον αὐτοὶ εἰς τὰ πλοῖα καὶ ἦλθον εἰς Καφαρναούμ καὶ ἐζητοῦν τὸν Ἰησοῦν. 15 Καὶ εὗρον αὐτὸν παρὰ τὴν θάλασσαν καὶ εἶπον αὐτῷ· Ῥαββί, ἐζητοῦμεν αὐτόν. 16 ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων· 17 εἶπον δὲ πρὸς αὐτόν· Τί ποιήσομεν; 18 ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ ὅτι πιστεύετε εἰς ὃν ἔπεμψεν θεός. 19 εἶπον οὖν αὐτῷ· Μᾶλλον ποιήσεις σὺ σημεῖον, καὶ πιστεύσομέν σοι. 20 εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἐκβάλλω δαιμόνια καὶ ἐγείρω ἐκ τῶν νεκρῶν, ἀλλ' ἔτι ἐπερωτᾶτε σημεῖα; ὁ ὄχλος δὲ ἀπῆλθεν ἀπ' αὐτοῦ.

ἐζητοῦν - IAI 3p ζητέω

εὗρον - 2nd aor εὑρίσκω

ζητεῖτε - PAI 2p

Τί - What?

εἰς ὃν ἔπεμψεν θεός
"In whom God sent"

ποιήσεις - FAI 2s

πιστεύσομέν - FAI 1p

ἐπερωτᾶτε - PAI 2p ἐπερωτάω

Jesus and Nicodemus

Beginning Greek Chapter 15

1 Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα
αὐτῷ. 2 αὐτὸς ἦλθεν πρὸς Ἰησοῦν καὶ εἶπεν αὐτῷ· Ῥαββί,
ἐλήλυθας - PfAI 2s ἔρχομαι
οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας· γινώσκομεν γὰρ ἀπὸ τῶν
σημείων ἃ σὺ ποιεῖς, ὅτι ὁ θεὸς μετὰ σοῦ. 3 ἀπεκρίθη Ἰησοῦς
γεννᾷ - PMI 2s γεννάω
καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν λέγω σοι, εἰ οὐ γεννᾷ ἐξ οὐρανοῦ,
οὐ βλέψεις τὴν βασιλείαν τοῦ θεοῦ. 4 λέγει πρὸς αὐτὸν ὁ
Πῶς - “How?”
Νικόδημος· Πῶς ἄνθρωπος γεννᾶται πάλιν; εἰς τὴν μητέρα
αὐτοῦ εἰσέρχεται καὶ πάλιν ἐξέρχεται; 5 ἀπεκρίθη Ἰησοῦς·
Ἀμὴν ἀμὴν λέγω σοι, εἰ οὐ γεννᾷ ἐξ ὕδατος καὶ πνεύματος, οὐ
εἰσελεύσῃ - FMI 2s εἰσέρχομαι
εἰσελεύσῃ εἰς τὴν βασιλείαν τοῦ θεοῦ. 6 ὃς γεγέννηται ἐκ τῆς
σαρκὸς σάρξ ἐστιν, καὶ ὃς γεγέννηται ἐκ τοῦ πνεύματος
πνεῦμά ἐστιν. 7 τὸ πνεῦμα ἔρχεται, καὶ τὴν φωνὴν αὐτοῦ
πόθεν - “from where”
ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως
ἐστὶν καὶ ὃς γεγέννηται ἐκ τοῦ πνεύματος. 8 Σὺ εἶ ὁ
διδάσκαλος τοῦ Ἰσραήλ καὶ οὐ γινώσκεις; 9 Ἀμὴν ἀμὴν λέγω
σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ βλέπομεν μαρτυροῦμεν, καὶ
τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. 10 εἰ τὰ ἀπὸ τῆς γῆς εἶπον
ὑμῖν καὶ οὐ πιστεύετε, πῶς τὰ ἀπὸ τοῦ οὐρανοῦ πιστεύσετε;

Paul's Prayer for the Church in Colossae

Beginning Greek Chapter 17

1 Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς
τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· 2
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν.

εὐχαριστέω - to give thanks

πατρὶ - Dat Masc Sing

ἀκούοντες - Adverbial Ptc

ἐσχήκατε - Perf of ἔχω

3 Εὐχαριστοῦμεν τῷ θεῷ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ περὶ ὑμῶν, 4 ἀκούοντες τὴν πίστιν ἣν ἐσχήκατε ἐν
Χριστῷ Ἰησοῦ καὶ τὴν ἀγάπην ἣν ἔχετε εἰς πάντας τοὺς
ἁγίους 5 διὰ τὴν ἐλπίδα τὴν τηρουμένην ὑμῖν ἐν τοῖς
οὐρανοῖς. 6 τὴν ἐλπίδα ἀκήκατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ
εὐαγγελίου 7 τοῦ μένοντος ἐν ὑμῖν καὶ τοῦ ἐρχόμενου εἰς
πάντα τὸν κόσμον.

τηρουμένην - Attributive Ptc

ἀκήκατε - Perf of ἀκούω

μένοντος - Attributive Ptc

ἐρχόμενου - Attributive Ptc

8 γινώσκομεν δὲ ὅτι πεπιστεύκατε ἀπὸ τῆς ἡμέρας ἐν ᾗ
ἠκούσατε καὶ ἔγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ· 9 οὕτως
ἀκήκατε ἀπὸ τοῦ ἀναγγείλαντος ὑμῖν τὸ εὐαγγέλιον,
Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ δούλου θεοῦ, ὅς ἐστιν πιστὸς ὑπὲρ
ἡμῶν διάκονος τοῦ Χριστοῦ, 10 ὅς ἐλάλησεν ἡμῖν περὶ τῆς
ἀγάπης ὑμῶν ἐν πνεύματι.

ἔγνωτε - 2nd Aor γινώσκω

ἀναγγείλαντος - AAPtc GMS of ἀναγγέλλω - Substantival

διάκονος - servant

Jesus's Temptation

Beginning Greek Chapter 18

ἀναχθεὶς - APPtc NMS ἀνάγω Adverbial Temporal

ἡ ἔρημος - desert

φαγὼν - AAPtc NMS ἐσθίω

πειράζω - to tempt, test

λαλήσεις - Imperatival Future

ὁ - Article as pronoun "he"

ἀποκριθεὶς - APPtc Adverbial

ἐκπορευομένῳ - PM/PPtc DMS Attributive Participle

1 Τότε ὁ Ἰησοῦς ἀναχθεὶς εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος,
οὐδέν φαγὼν ἡμέρας πολλάς καὶ νύκτας, ἐπειράζετο ὑπὸ τοῦ
πονηροῦ. 2 προσελθὼν δὲ ὁ πειράζων πρῶτον εἶπεν αὐτῷ, εἰ
Υἱὸς εἶ τοῦ Θεοῦ, λαλήσεις, καὶ οἱ λίθοι ἄρτοι γενήσονται. 3 ὁ
δὲ ἀποκριθεὶς εἶπεν, γέγραπται· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται
ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ τῷ ῥήματι τῷ ἐκπορευομένῳ διὰ
στόματος Θεοῦ.

δεύτερον - "second time"

καταβαλεῖς - Imperatival Future Liquid Verb

4 Τότε ἔλαβεν αὐτὸν ὁ πειράζων εἰς τὴν ἁγίαν πόλιν, καὶ
ἤνεγκεν αὐτὸν ἐπὶ τοῦ ἱεροῦ, 5 καὶ δεύτερον λέγει αὐτῷ, εἰ
Υἱὸς εἶ τοῦ Θεοῦ, καταβαλεῖς σε; γέγραπται γὰρ ὅτι τοὺς
ἀγγέλους αὐτοῦ ἀποστελεῖ περὶ σοῦ. 6 εἶπεν αὐτῷ ὁ Ἰησοῦς,

πειράσεις - Imperatival Future of πειράζω

πάλιν γέγραπται· οὐ πειράσεις κύριον τὸν Θεόν σου.

ἐπῆρεν - AAI 3s ἐπαίρω

τρίτον - "third time"

7 Πάλιν ἐπῆρεν αὐτὸν ὁ πειράζων εἰς ὄρος μέγα, καὶ τρίτον
ἐπηρώτησεν αὐτὸν λέγων· Βλέπεις πάσας τὰς βασιλείας τοῦ
κόσμου; 8 ἡ δόξα αὐτῶν σοὶ γενήσεται, εἰ πεσὼν προσκυνεῖς
μοι. 9 τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, ὑπάξεις εὐθύς, Σατανᾶς·
γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ

γενήσεται - Future of γίνομαι

πεσὼν - AAPtc NMS πίπτω

προσκυνεῖς - Future liquid verb

προσκυνεῖς - Imperatival Future liquid verb

ἐλθόντες - AAPtc NMP
Adverbial

παρεκάλουν - Imperfect
παρακαλέω

μόνῳ δοξάσεις. 10 τότε ὑπάγει ὁ πονηρός, καὶ ἐλθόντες ἄγγελοι παρεκάλουν αὐτόν.

Jonah flees from God

Beginning Greek Chapter 20

1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθεὶ
λέγων· 2 Πορεύσῃ εἰς Νινευὴν τὴν πόλιν τὴν μεγάλην καὶ
κηρύξεις ἐν αὐτῇ, διὰ τὴν κακίαν αὐτῆς τὴν ἀναβεβηκυῖαν
πρὸς μέ. 3 καὶ εὑρίσκων πλοῖον εἰς Θαρσεὶς ἔφυγεν Ἰωνᾶς ἐκ
προσώπου Κυρίου.

Πορεύσῃ - FMI 2s

κηρύξεις - FAI 2s κηρύσσω

ἀναβεβηκυῖαν - PfAPtc AFS Ἀναβαίνω - Attributive

ἔφυγεν - φεύγω "I flee" 2nd Aor

4 Διὰ τοῦτο ἤγειρεν Κύριος πνεῦμα ἐπὶ τὴν θάλασσαν, καὶ
ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ. 5 καὶ ἐφοβήθησαν οἱ
ἄνδρες, καὶ ἐκράξαν ἕκαστος τῷ θεῷ αὐτοῦ· Ἰωνᾶς δὲ
κατέβη εἰς τὸ πλοῖον καὶ ἐκάθευδεν. 6 καὶ προσελθὼν πρὸς
αὐτὸν ὁ ἄγων τοῦ πλοίου ἐπηρωτήσεν αὐτῷ· Τίς εἶ σύ; Τί σὺ
καθεύδεις; οὐκ οἶδας ὅτι ἀποθνῄσκομεν; 7 ἀποκριθεὶς καὶ
εἶπεν πρὸς αὐτούς· Δοῦλος Κυρίου ἐγώ εἰμι, καὶ Κύριον θεὸν
τοῦ οὐρανοῦ τὸν ποιήσαντα τὴν θάλασσαν καὶ τὴν γῆν
προσκυνῶ. 8 καὶ φοβηθέντες οἱ ἄνδρες φόβον μέγαν εἶπαν
πρὸς αὐτόν· Τί τοῦτο ἐποίησας; ἔγνωκαν γὰρ ὅτι ἐκ
προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς.

κλύδων - "wave"

ἐκράξαν - AAI 3p κράζω

καθεύδω - "I sleep"

Τί - "why?"

ποιήσαντα - AAPtc AMS Attributive

φοβηθέντες - APPtc NMP

ἦν φεύγων - Periphrastic Ptc

9 Εἶπον δὲ πρὸς αὐτὸν· Τί σοι ποιήσομεν; ὅτι ἡ θάλασσα

βάλλομαι - Present Passive

ἐπορεύετο καὶ ἤγειρεν μᾶλλον κλύδωνα. 10 καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Εἰ βάλλομαι εἰς τὴν θάλασσαν, οὐκέτι πορεύσεται κατὰ ὑμῶν ἡ θάλασσα· ἔγνωκα γὰρ ὅτι δι᾽ ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ᾽ ὑμᾶς ἐστίν. 11 καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ οὐκέτι ἠγείρεν κλύδωνα. 12 καὶ ἐφοβήθησαν οἱ ἄνδρες Κύριον φόβῳ μεγάλῳ, καὶ προσκυνούσιν Κύριον θεόν.

We are Children of God

Beginning Greek Chapter 22

γινώσκειν - PAInf

ἄρῃ - AAS 3s ἀίρω

περιπατεῖν - PAInf

λύσῃ - AAS 3s

γεγεννημένος - Perf M/P Ptc NMS γεννάω

ἀγαπῶμεν - AAS 1p

1 ἀγαπητοί, βούλομαι ὑμᾶς γινώσκειν ὅτι νῦν τέκνα θεοῦ ἐσμέν. 2 οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ. καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν, οὐ γὰρ δύναται ἁμαρτεῖν. 3 πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει·πᾶς ὁ ἁμαρτάνων οὐχ ἔγνωκεν αὐτόν.

4 τεκνία, δεῖ ἡμᾶς περιπατεῖν ἐν ἀληθείᾳ. ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν. 5 ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ πονηροῦ ἐστίν, ὅτι ἀπ᾽ ἀρχῆς ὁ πονηρὸς ἁμαρτάνει. 6 διὰ τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ πονηροῦ.

7 πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι ἡ ἀλήθεια αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται. 8 ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ πονηροῦ· 9 πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. 10 ὅτι τοῦτό ἐστιν τὸ ῥῆμα ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

The Lord's Prayer

Beginning Greek Chapter 24

προσεύχησθε - PMS 2p
ποσεύχεσθαι - PMInf
βλεπθῶσιν - APS 3p

ἀποδέδονται - Perf M/P I 3p
εἴσελθε - AAImpv 2s
πρόσευξαι - AMImpv 2s

ἀποδώσει - FAI 3s

προσεύχησθε - PMImpv 2p

δοξασθήτω - APImpv 3s

δὸς - AAImpv 2s δίδωμι
ἄφες - AAImpv 2s ἀφίημι
ἀφήκαμεν - AAI 1p
ἐνέγκῃς - AAS 2s

ἀφῆτε - AAS 2p
ἀφήσει - FAI 3s

1 Καὶ ὅταν προσεύχησθε, οὐκ ἔσεσθε ὡς οἱ ὑποκριταί· ὅτι ἀγαπῶσι προσεύχεσθαι ἐν ταῖς συναγωγαῖς, ὅπως βλεπθῶσιν τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ἀποδέδονται. 2 σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸν οἶκόν σου καὶ πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· 3 καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.

4 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· δοξασθήτω τὸ ὄνομά σου, 5 ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· 6 τὸν ἄρτον ἡμῶν δὸς ἡμῖν σήμερον· 7 καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ἁμαρτοῦσιν κατ' ἡμῶν· 8 καὶ μὴ ἐνέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ σῶσον ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

9 ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰς ἁμαρτίας αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς· 10 ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰς ἁμαρτίας ὑμῶν.